Hdt 5.52-54

Ἔχει γὰρ ἀμφὶ τῇ ὁδῷ ταύτῃ ὧδε. Σταθμοί τε πανταχῇ
εἰσι βασιλήιοι καὶ καταλύσιες κάλλισται, διὰ οἰκεομένης τε
ἡ ὁδὸς ἅπασα καὶ ἀσφαλέος. Διὰ μέν γε Λυδίης καὶ Φρυ-
γίης σταθμοὶ τείνοντες εἴκοσί εἰσι, παρασάγγαι δὲ τέσσερες
καὶ ἐνενήκοντα καὶ ἥμισυ. Ἐκδέκεται δὲ ἐκ τῆς Φρυγίης ὁ
Ἅλυς ποταμός, ἐπ' ᾧ πύλαι τε ἔπεισι, τὰς διεξελάσαι
πᾶσα ἀνάγκη καὶ οὕτω διεκπερᾶν τὸν ποταμόν, καὶ φυλακ-
τήριον μέγα ἐπ' αὐτῷ. Διαβάντι δὲ ἐς τὴν Καππαδοκίην
καὶ ταύτῃ πορευομένῳ μέχρι οὔρων τῶν Κιλικίων σταθμοὶ
δυῶν δέοντές εἰσι τριήκοντα, παρασάγγαι δὲ τέσσερες καὶ
ἑκατόν· ἐπὶ δὲ τοῖσι τούτων οὔροισι διξάς τε πύλας διεξε-
λᾷς καὶ διξὰ φυλακτήρια παραμείψεαι. Ταῦτα δὲ διεξελά-
σαντι καὶ διὰ τῆς Κιλικίης ὁδὸν ποιευμένῳ τρεῖς εἰσι
σταθμοί, παρασάγγαι δὲ πεντεκαίδεκα καὶ ἥμισυ. Οὖρος δὲ
Κιλικίης καὶ τῆς Ἀρμενίης ἐστὶ ποταμὸς νηυσιπέρητος,
τῷ οὔνομα Εὐφρήτης. Ἐν δὲ τῇ Ἀρμενίῃ σταθμοὶ μέν εἰσι
[καταγωγέων] πεντεκαίδεκα, παρασάγγαι δὲ □ξ καὶ πεντή-
κοντα καὶ ἥμισυ, καὶ φυλακτήριον ἐν αὐτοῖσι. Ἐκ δὲ
ταύτης τῆς Ἀρμενίης ἐσβάλλοντι ἐς τὴν Ματιηνὴν γῆν
σταθμοί εἰσι τέσσερες <καὶ τριήκοντα, παρασάγγαι δὲ ἑπτὰ
καὶ τριήκοντα καὶ ἑκατόν>. Ποταμοὶ δὲ νηυσιπέρητοι τέσ-
σερες διὰ ταύτης ῥέουσι, τοὺς πᾶσα ἀνάγκη διαπορθμεῦσαί
ἐστι, πρῶτος μὲν Τίγρης, μετὰ δὲ δεύτερός τε καὶ τρίτος
ὡυτὸς ὀνομαζόμενος <Ζάβατος>, οὐκ ὡυτὸς ἐὼν ποταμὸς
οὐδὲ ἐκ τοῦ αὐτοῦ ῥέων· ὁ μὲν γὰρ πρότερος αὐτῶν κατα-
λεχθεὶς ἐξ Ἀρμενίων ῥέει, ὁ δ' ὕστερος ἐκ Ματιηνῶν· ὁ
δὲ τέταρτος τῶν ποταμῶν οὔνομα ἔχει Γύνδης, τὸν Κῦρος
διέλαβέ κοτε ἐς διώρυχας ἑξήκοντα καὶ τριηκοσίας. Ἐκ δὲ
ταύτης ἐς τὴν Κισσίην χώρην μεταβαίνοντι ἕνδεκα σταθμοί,
παρασάγγαι δὲ δύο καὶ τεσσεράκοντα καὶ ἥμισύ ἐστι ἐπὶ
ποταμὸν Χοάσπην, ἐόντα καὶ τοῦτον νηυσιπέρητον, ἐπ' ᾧ
Σοῦσα πόλις πεπόλισται. Οὗτοι οἱ πάντες σταθμοί εἰσι
ἕνδεκα καὶ ἑκατόν. Καταγωγαὶ μέν νυν σταθμῶν τοσαῦταί
εἰσι ἐκ Σαρδίων ἐς Σοῦσα ἀναβαίνοντι. Εἰ δὲ ὀρθῶς μεμέ-
τρηται ἡ ὁδὸς ἡ βασιληίη τοῖσι παρασάγγῃσι καὶ ὁ παρα-
σάγγης δύναται τριήκοντα στάδια, ὥσπερ οὗτός γε δύναται
ταῦτα, ἐκ Σαρδίων στάδιά ἐστι ἐς τὰ βασιλήια τὰ Μεμνόνια
καλεόμενα πεντακόσια καὶ τρισχίλια καὶ μύρια παρασαγγέων
ἐόντων πεντήκοντα καὶ τετρακοσίων· πεντήκοντα δὲ καὶ
ἑκατὸν στάδια ἐπ' ἡμέρῃ ἑκάστῃ διεξιοῦσι ἀναισιμοῦνται
ἡμέραι ἀπαρτὶ ἐνενήκοντα· οὕτω τῷ Μιλησίῳ Ἀρισταγόρῃ
εἴπαντι πρὸς Κλεομένεα τὸν Λακεδαιμόνιον εἶναι τριῶν
μηνῶν τὴν ἄνοδον τὴν παρὰ βασιλέα ὀρθῶς εἴρητο. Εἰ δέ
τις τὸ ἀτρεκέστερον τούτων ἔτι δίζηται, ἐγὼ καὶ τοῦτο
σημανέω· τὴν γὰρ ἐξ Ἐφέσου ἐς Σάρδις ὁδὸν δεῖ προσλο-

γίσασθαι ταύτῃ. Καὶ δὴ λέγω σταδίους εἶναι τοὺς πάντας ἀπὸ θαλάσσης τῆς Ἑλληνικῆς μέχρι Σούσων (τοῦτο γὰρ Μεμνόνιον ἄστυ καλέεται) τεσσεράκοντα καὶ τετρακισχιλίους καὶ μυρίους· οἱ γὰρ ἐξ Ἐφέσου ἐς Σάρδις εἰσὶ τεσσεράκοντα καὶ πεντακόσιοι στάδιοι· καὶ οὕτω τρισὶ ἡμέρῃσι μηκύνεται ἡ τρίμηνος ὁδός.